# XXI.

## Πρᾶξις σὺν θεῷ κα΄.

p. 474c. λέγε δή μοι ἵνα εἰδῇς.

1 τὸ προκείμενόν ἐστι διὰ τούτων τὰ δύο προβλήματα, ἃ εἶπεν ὁ Σωκράτης, κατασκευάσαι, τῶν δὲ προβλημάτων τὸ μὲν πρῶτόν ἐστιν, ὅτι κρεῖττον τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν, τὸ δὲ δεύτερον, ὅτι τῶν ἀδικούντων ὁ μὴ διδοὺς δίκην πολλῷ ἀθλιώτερός ἐστι τοῦ διδόντος. τὸ πρότερον οὖν τέως κατασκευάζει, τοῦτο δὲ δείκνυται, ὡς εἴρηται ἐν τῷ Ἀλκιβιάδῃ, ἐκ τοῦ ἐπὶ τῶν πράξεων ἀντιστρέφειν τό τε δίκαιον καὶ τὸ καλὸν καὶ τὸ ἀγαθόν. ὁ μὲν οὖν Πῶλος ὅπως δήποτε ἀκολουθῶν ταῖς κοιναῖς ἐννοίαις τὸ μὲν δίκαιον καλὸν λέγει, οὐκ ἔτι δὲ συγχωρεῖ, ὅτι τὸ καλὸν ἀγαθόν, ἀλλὰ πρὸς τοῦτο διαμάχεται· ὁ δὲ Καλλικλῆς οὐδεμιᾷ προτάσει συγχωρεῖ· λέγει τοίνυν ὁ Πῶλος, ὅτι τὸ δίκαιον καλόν ἐστιν· ἀμέλει καὶ ἐλεοῦμεν τοὺς ἀδικουμένους, οὕτως αἰσχρὸν τὸ ἀδικεῖν· οὐκ ἔτι δὲ καὶ ἀγαθόν· δυνάμενος γὰρ ὁ δίκαιος χρήματα ἀφελέσθαι καὶ πάμπολλα κερδάναι, ὡς δίκαια πράττων οὐδὲν κερδαίνει. ὁ δὲ Σωκράτης πανταχοῦ λέγει, ὅτι ἐπὶ τῶν πράξεων πᾶν δίκαιον καλόν, καὶ πᾶν δὲ καλὸν ἀγαθόν, καὶ πᾶν ἄρα δίκαιον ἀγαθόν, ὥστε καὶ ἐπὶ τῶν ἐναντίων τὸ αὐτό ἐστιν· καὶ πᾶν ἄδικον αἰσχρόν, καὶ πᾶν αἰσχρὸν κακόν, καὶ πᾶν
2 ἄρα ἄδικον κακόν· ταῦτα μὲν οὖν οὗτοι. ὁ δὲ Καλλικλῆς μηδέ, εἰ εἰσὶν κοιναὶ ἔννοιαι, εἰδώς, οὐδὲ τὸ δίκαιον καλὸν λέγει οὐδὲ τὸ καλὸν ἀγαθόν· καὶ ὡς ἀλογίαν νοσῶν ἐκ τῶν ἀλόγων φέρει τὰ παραδείγματα λέγων, ὅτι πανταχοῦ ὁ ἰσχυρότερος ὀφείλει πλεονεκτεῖν τὸν ἀσθενέστερον καὶ κατακρατεῖν αὐτοῦ· οὕτω γ᾽ οὖν καὶ ἐπὶ τῶν ἀλόγων τὰ ἰσχυρότερα κρατεῖ τῶν ἀσθενεστέρων καὶ βοηθοῦσιν αὐτοῖς· ὁ γ᾽ οὖν λέων οὐ δίκαιος μὴ ἐσθίων τὰ ἀσθενέστερα αὐτοῦ. φησὶν οὖν, ὅτι οἱ ἀσθενέστεροι καταγοητεύουσι καὶ ἀπατῶσι τοὺς ἰσχυροτέρους καὶ λέγουσιν αὐτοῖς, ὅτι τὸ δίκαιον καλόν, τὸ ἄδικον αἰσχρόν,

---

8 Plat. Alcib. 116b.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/112 UNIVERSITÄT LEIPZIG